εἰσέρχεται ὁ ἱερεύς· καὶ ἀλλάσσων τὴν ἱερατικὴν στο-
λὴν λευκήν· καὶ ὑποδήματα· καὶ ἅπτων πάντων
τῶν κηρῶν· λαβὼν θυμιατὸν ἀπέρχεται ἐν τῇ
κολυμβήθρᾳ· καὶ θυμιᾷ κύκλῳ· καὶ ἀπο-
δοὺς τὸ θυμιατὸν προσκυνεῖ δ΄· καὶ σφραγίζει
μετὰ τὸν κηρὸν γ΄· λέγει ὁ διάκονος· Εὐλόγησον δέσποτα:
ὁ ἱερεύς: Εὐλογημένη ἡ βασιλεία: ὁ διάκονος
ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:
ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας:
ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου:
ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου· καὶ τῶν μετὰ:
ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο· τῇ
δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ
ἁγίου πνεύματος· τοῦ κυρίου δεηθῶμεν:
ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χά-
ριν τῆς ἀπολυτρώσεως· τὴν εὐλογί-
αν τοῦ Ἰορδάνου· τοῦ κυρίου δεηθῶμεν:
ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι
τούτοις· τὴν καθαρτικὴν τῆς ὑπερ-
ουσίου τριάδος ἐνέργειαν· τοῦ κυρίου δεηθῶμεν:

http://digital.slub-dresden.de/ppn345703170/97